X. Λέγεται δὲ καὶ τάδε, 1
μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευ-
τήσασιν οὐ ποιέουσιν, ἀλλὰ
τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν
ἱκανὰς ἐς μνήμην τίθενται
τοῖσιν ἀποθανοῦσι, καὶ τὰς
ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται.
Πόλεων δὲ ἀριθμὸν οὐκ εἶναι 2
ἂν ἀτρεκὲς ἀναγράψαι τῶν
Ἰνδικῶν, ὑπὸ πλήθεος· ἀλ-
λὰ γὰρ ὅσαι παραποτάμιαι
αὐτέων, ἢ παραθαλάσσιαι,
ταύτας μὲν ξυλίνας ποιέεσθαι·
οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεο- 3
μένας διαρκέσαι ἐπὶ χρόνον,
τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ
οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ
αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ
τὰς ὄχθας, ἐμπίπλασι τοῦ
ὕδατος τὰ πεδία. Ὅσαι δὲ 4
ἐν ὑπερδεξίοις τε καὶ μετεώ-
ροις τόποισι, καὶ τούτοισιν
ὑψηλοῖσιν, ᾠκισμέναι εἰσί,
ταύτας δὲ ἐκ πλίνθου τε καὶ
πηλοῦ ποιέεσθαι· μεγίστην δὲ 5
πόλιν Ἰνδοῖσιν εἶναι Παλίμ-
βοθρα καλεομένην, ἐν τῇ Πρα-

X. Feruntur etiam haec: Non condere Indos monimenta mortuis; virtutes enim virorum ad perpetuandam post mortem memoriam sufficere existimant, et carmina atque odas, quae in eorum honorem canuntur. Urbium vero Indicarum numerum prae multitudine compertum non esse: eas vero quae juxta flumina aut mare sitae sint, ex lignea materia constructas esse; neque enim, si ex latere confectae essent, longo tempore duraturas, tum propter imbres, tum quod amnes superatis ripis plana loca aqua repleant. Quae vero in superioribus et sublimioribus (quam inundatio) praecipue vero altis locis positae sint, ex lateribus et caemento factas esse. Maximam autem apud Indos urbem esse Palimbo-

## NOTAE CRITICAE AD CAP. X.

1. Vocem ἱκανὰς non habet Opt. Quam abjicere tamen nolui. Mox vero in verbis πόλεων δὲ καὶ ἀριθμὸν recte Optimus et Codex August. copulam ignorant, quam abjeci.